πρὸς ἕν, καὶ ὅλως ὁ ἀριθμός, καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ. ἔτι ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη, ἢ τῆς ἠρεμήσεως· οἷον ὁ βουλεύσας αἴτιος, καὶ ὁ πατὴρ τοῦ τέκνου, καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου, καὶ τὸ μεταβλητικὸν τοῦ μεταβάλλοντος. ἔτι ὡς τὸ τέλος. τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα· οἷον, τοῦ περιπατεῖν ἡ ὑγίεια. διὰ τί γὰρ περιπατεῖ; φαμέν, ἵνα ὑγιαίνῃ· καὶ εἰπόντες οὕτως, οἰόμεθα ἀποδεδωκέναι τὸ αἴτιον. καὶ ὅσα δὴ κινήσαντος ἄλλου μεταξὺ γίνεται τοῦ τέλους· οἷον τῆς ὑγιείας, ἡ ἰσχνασία, ἢ ἡ κάθαρσις, ἢ τὰ φάρμακα, ἢ τὰ ὄργανα. πάντα γὰρ ταῦτα τοῦ τέλους ἕνεκά ἐστι. διαφέρει δὲ ἀλλήλων ὡς ὄντα, τὰ μὲν ὡς ὄργανα, τὰ δὲ ὡς ἔργα. τὰ μὲν οὖν αἴτια, σχεδὸν τοσαυταχῶς λέγεται. καὶ συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων, καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι οὐ κατὰ συμβεβηκός· οἷον τοῦ ἀνδριάντος, καὶ ἡ ἀνδριαντοποιητική, καὶ ὁ χαλκός, οὐ καθ' ἕτερόν τι, ἀλλ' ᾗ ἀνδριάς· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς ὕλη, τὸ δ' ὡς ὅθεν ἡ κίνησις, καὶ ἀλλήλων αἴτια· οἷον, τὸ πονεῖν τῆς εὐεξίας, καὶ αὕτη τοῦ πονεῖν· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς τέλος, τὸ δ' ὡς ἀρχὴ κινήσεως. ἔτι δὲ ταὐτὸ ἐνίοτε τῶν ἐναντίων ἐστίν. ὃ γὰρ παρὸν αἴτιον τουδί, τοῦτ' ἀπὸν αἰτιώμεθα ἐνίοτε τοῦ ἐναντίου. οἷον τὴν ἀπουσίαν τοῦ κυβερνήτου, τῆς ἀναστροφῆς, οὗ ἦν ἡ παρουσία αἰτία τῆς σωτηρίας. ἄμφω δὲ καὶ ἡ παρουσία καὶ ἡ στέρησις, αἴτια ὡς κινοῦντα. ἅπαντα δὲ τὰ νῦν εἰρημένα αἴτια, εἰς τέτταρας τρόπους πίπτει τοὺς φανερωτάτους. τὰ μὲν γὰρ στοιχεῖα τῶν συλλαβῶν, καὶ ἡ ὕλη τῶν σκευαστῶν· καὶ τὸ πῦρ, καὶ ἡ γῆ, καὶ τὰ τοιαῦτα, πάντα, τῶν σωμάτων· καὶ τὰ μέρη τοῦ ὅλου, καὶ αἱ ὑποθέσεις τοῦ συμπεράσματος, ὡς τὸ ἐξ οὗ αἴτιά ἐστι. τούτων δὲ τὰ μὲν ὡς τὸ ὑποκείμενον, οἷον τὰ μέρη· τὰ δὲ ὡς τὸ τί ἦν εἶναι, τό, τε ὅλον καὶ ἡ σύνθεσις, καὶ τὸ εἶδος. τὸ δὲ σπέρμα, καὶ ὁ ἰατρός, καὶ ὁ βουλεύσας, καὶ ὅλως τὸ ποιοῦν, πάντα ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἢ στάσεως. τὰ δ' ἄλλα, ὡς τὸ τέλος καὶ τἀγαθὸν τῶν ἄλλων. τὸ γὰρ οὗ ἕνεκα, βέλτιστον, καὶ τέλος τῶν ἄλλων ἐθέλει εἶναι. διαφερέτω δὲ μηδὲν αὐτὸ εἰπεῖν ἢ ἀγαθόν, ἢ φαινόμενον ἀγαθόν. τὰ μὲν οὖν αἴτια, τοσαῦτα ἐστὶ τῷ εἴδει. τρόποι δὲ τῶν αἰτίων, ἀριθμῷ μὲν εἰσὶ πολλοί· κεφαλαιούμενοι δὲ καὶ οὗτοι, ἐλάττους. λέγεται γὰρ αἴτια πολλαχῶς

A vnum : & ſimpliciter, numerus, & partes, quæ in ratione ſunt. Item, vnde principium mutationis primùm, aut quietis, vt qui conſuluit, cauſa: & pater, prolis: & ſimpliciter, faciens, eius, quod factum eſt : & transmutatiuum, tranſmutati. Item, vt finis : hæc autem eſt cuius cauſa, vt ambulandi ſanitas. Propter quid enim ambulat, dicimus vt ſanetur. Et cùm ita dicamus, putamus cauſam reddidiſſe. Et quæcunque inter illud mouens, & finem, B media fiunt: vt ſanitatis, attenuatio, purgatio, medicamenta, aut inſtrumenta: omnia etenim hæc finis gratia ſunt, differunt verò ab inuicem, eo quòd hæc quidem inſtrumenta, illa verò vt opera ſunt. Cauſæ itaque ferè toties dicuntur. At cùm multifariam cauſæ dicantur, accidit multas quoque eiuſdem non ſecundum accidens cauſas eſſe : vt ſtatuæ, & ars ſtatuaria, & i- C pſum æs, non ſecundum aliud quippiam, ſed prout ſtatua eſt : non tamen eodem modo, ſed hoc quidem vt materia, illa verò vt vnde motus. Et inuicem cauſas eſſe: vt laborare, bonæ habitudinis, hæc verò, laborandi : non tamen eodem modo, ſed hæc quidem vt finis, illud verò principium motus. Item, idem aliquando contrariorum cauſa eſt. Quod enim cùm D adſit, alicuius cauſa eſt : idem, cùm abſit, cauſam contrarij nonnunquam dicimus: vt abſentiam gubernatoris, naufragij : cuius præſentia, ſalutis cauſa erat. Ambæ autem & præſentia, & priuatio tanquam mouentes cauſæ ſunt. Omnes autem nunc dictæ cauſæ, in quatuor incidunt manifeſtiſſimos modos : elementa etenim ſyllabarum, & materia factorum, & ignis, & terra, & omnia huiuſcemodi corporum, partes quoque totius, & ſuppoſitiones con- E cluſionis, cauſę ſunt, vt ex quo. Harum verò hæc quidem tanquam ſubiectum, vt partes: hæc verò tanquam quod quid erat eſſe, vt totum, & compoſitio, & ſpecies. Semen verò, & medicus, & conſiliator, & ſimpliciter efficiens, omnia vnde tranſmutationis, aut ſtatus principium. Cætera verò, tanquam finis, & bonum aliorum: quod enim cuius cauſa, optimum, & finis aliorum vult eſſe : nil autem differat, bo- F num id, an apparens bonum dicatur. Hæ itaque cauſæ, ac tot ſpecie ſunt. Modi autem cauſarum, numero quidem multi ſunt, in pauciores autem reducuntur. Dicuntur etenim cauſæ etiam earum,